πομποὶ, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τί φῶ χέουσα τάσδε κηδείους χοάς;
πῶς εὔφρον' εἴπω; πῶς κατεύξωμαι πατρί;
πότερα χέουσα τάδε φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρὶ, τῆς ἐμῆς μητρὸς, πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος οὐδ' ἔχω τί φῶ
χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς,
ἔσθλ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν γε τῶν χοῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατὴρ, τάδ' ἐκχέασα, γάποτον χύσιν
στείχω καθάρμαθ' ὥς τις ἐκπέμψας πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασι;
τῆσδ' ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.

86 sq. Fort. σύμβουλοι πέρι, | τί φῶ — χοάς· | πῶς — πατρί· | πότερα — πάρα.

87. τύφω δὲ M. οἶμαι τύμβῳ additum in M. τύμβῳ Turn. τάφῳ Stanl. τύμβῳ Herm. Blom. Dind. τάφῳ φέρουσα Heimsoeth. τί φῶ Ahrens. Franz. Pal. Weil. Sidg. Recte. Cf. 118. et 91.

88. εὔφρον'] ἔμφρον' conj. Weckl. Cf. 196. κατεύξομαι M. κατεύξωμαι Turn.

89. λέγουσα mss. Correxi χέουσα. Cf. 87. 109. 129. παρὰ mss. πὰρ H. Wolf. An τάδε? Requiritur enim accusativus objecti. Cf. 97.

90. πάρα mss. An λέγω aut τάδε? Cf. 97. τάδ' ἐκχέασα.

91 sq. Post 95. transponit Weil. delet O. Sievers.

92. πελανὸν (sic) M. ἐν τύμβῳ] Qu. ἐπὶ τύμβῳ.

94. ἔστ' mss. ἴσ' Bamb. Weil. Dind. ἔσθλ' Elmsl. ad Her. 387. (coll. Pers. 222.) Herm. Dind. Pal. Sidg. (Recte. Cf. 147. et Pers. 220. πρευμενῆ δ' αἰτοῦ τάδε — ἐσθλά σοι πέμπειν etc.) εὖ τ' Elmsl., coll. Eur. Alc. 1007. Andr. 751. ἔστ' ἀντιδοῦναι mss. Fort. αἰτῶ σε δοῦναι. πέμπουσι M. πέμπουσιν Vict.

95. Versus forsan interpolatus. δόσιν τε mss. δόσιν γε Stanl. δόσιν δὴ Butler. τῶν κακῶν mss. τῶν καλῶν Elmsl. τῶν κεδνῶν Todt. Leg. τῶν χοῶν.

97. πατὴρ, τάδ' ἐκχέασα] πατὴρ τότ', — Heimsoeth. Qu. πατήρ ποτ' (vel τότ'), ἐκχέασα. ἐκχέουσα mss. ἐκχέασα Dind. Weil. prob. Pal.

98. ἐκπέμψας] Qu. ἐκρίψας. ὄμμασιν M. ὄμμασι Turn.

100. μεταίτιαι] μεταίτιοι Blom. Sed cf. 910. παραιτία. Soph. Tr. 447. τῇ μεταιτίᾳ. Cf. ad 873.

101. ἔχθος mss. Qu. ἄχθος. Cf. Ag. 627. κοινὸν ἄχθος. νομίζομεν] κομίζομεν Aur. Fortasse recte. Sed cf. 1003. ἀργυροστερῆ βίον νομίζων. 801.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG